καθημέραν ἐσθίοντας ἢ τὴν καθεκάστην δαπάνην καὶ τὴν γινομένην εἰς ἕκαστον πρόνοιαν; εἰς ἐκεῖνον γὰρ ἀναφέρω καὶ τὰ μετ᾽ ἐκεῖνον. ἐκεῖνος γὰρ ἀφωρίσατο τὰς ἀπὸ γῆς καὶ θαλάττης αὐτοῖς προνοίας, | ἐκεῖνος δὲ τὴν δυνατὴν ῥαστώνην αὐτοῖς περιεποιήσατο. προκάθηται γὰρ ἀνήρ τις τῶν ἐνδοξοτάτων φροντιστὴς τῆς μυριάνδρου ταυτησὶ πόλεως· ὀρφανοτροφεῖον δὲ ταύτῃ τοὔνομα. ὀρφανοτροφεῖον δὲ προσαγορεύεται, ὅτι {ἡ} πρὸς τοὺς ὀρφανοὺς καὶ ἀπροστατεύτους ⟨ἡ⟩ φιλανθρωπία τοῦ αὐτοκράτορος· ὅθεν καὶ τοὔνομα ἐπεκράτησε ἀπὸ τῆς τῶν ὀρφανῶν προμηθείας. σέκρετα γὰρ ἐπὶ τούτοις πᾶσι καὶ λογοπραγίαι τῶν προνοουμένων {καὶ} τὰ τῶν πενήτων κτήματα καὶ χρυσόβουλλοι λόγοι ἐπιβραβεύοντες τοῖς τρεφομένοις τὸ ἀναφαίρετον. 8 τῷ δὲ ναῷ τοῦ μεγαλοκήρυκος Παύλου κλῆρος μέγας κατείλεκτο καὶ πολὺς καὶ φώτων δαψίλεια. καὶ παραγενόμενος εἰς τουτονὶ τὸν νεὼν ἴδοις ἂν χοροὺς ἑκατέρωθεν ἀντᾴδοντας. κατέταξε γὰρ τῷ τῶν ἀποστόλων νεῷ ᾄδοντας καὶ ᾀδούσας κατὰ τὸν Σολομῶντα. ἐπιμελὲς γὰρ καὶ τὸ τῶν διακονισσῶν πεποίηκεν ἔργον. πολλὴν δὲ φροντίδα καὶ τῶν ἐπιξενουμένων Ἰβηρίδων μοναχῶν ἐπεποίητο θύραν ἐκ θύρας ἀμειβουσῶν τὸ πρότερον, ἐπὰν εἰς τὴν Κωνσταντίνου ἐπιδημήσαιεν. ἀλλὰ καὶ ταύταις ἡ κηδεμονία τοὐμοῦ πατρὸς ἀνεδείματο φροντιστήριον μέγιστον τάς τε τροφὰς καὶ τὰς προσηκούσας ἐσθῆτας διοικονομησαμένου. ὁ μὲν οὖν Ἀλέξανδρος ἐκεῖνος ὁ Μακεδὼν αὐχείτω μὲν ἐπὶ τῇ κατ᾽ Αἴγυπτον Ἀλεξανδρείᾳ, ἐπὶ τῇ κατὰ Μήδους Βουκεφάλῃ, ἐπὶ τῇ κατ᾽ Αἰθιοπίαν Λυσιμαχείᾳ, ὁ δὲ αὐτοκράτωρ Ἀλέξιος οὐ τόσον ἐπὶ ταῖς ἀνεγερθείσαις παρ᾽ αὐτοῦ πόλεσιν ἐναβρύνοιτο, ἃς πανταχοῦ ἴσμεν ἀνοικοδομηθείσας αὐτῷ, ὅσον ἐπὶ ταύτῃ τῇ πόλει μεγαλαυχεῖ. 9 ἀλλὰ ταῦτα μὲν τὰ τεμένη καὶ ἱερὰ φροντιστήρια εἰσιόντι σοι κατὰ λαιὰν ἀπαντήσειε· κατὰ δὲ τὴν δεξιὰν τοῦ μεγάλου τεμένους παιδευτήριον ἕστηκε τῶν γραμματικῶν παισὶν ὀρφανοῖς ἐκ παντοδαποῦ | γένους συνειλεγμένοις, ἐν ᾧ παιδευτής τις προκάθηται καὶ παῖδες περὶ αὐτὸν ἑστᾶσιν, οἱ μὲν περὶ ἐρωτήσεις ἐπτοημένοι γραμματικάς, οἱ δὲ ξυγγραφεῖς τῶν λεγομένων σχεδῶν. καὶ ἔστιν ἰδεῖν καὶ Λατῖνον ἐνταῦθα παιδοτριβούμενον καὶ Σκύθην ἑλληνίζοντα καὶ

93–94 κατέταξε – Σολομῶντα: cf. Par. II 7, 6; cf. etiam I 15, 16; nihil dicit Scriptura de feminis, cf. Buckler 196

C 82 τὰς Reiff.[1] : τὰ C | αὐτοῖς Reiff.[1] : αὐτῆς C 84 ἐνδοξοτάτων $C^{im}$ : ἐνδοξάτων C 86 ἡ ante φιλανθρωπία transp. Kambylis | ἀπροστατεύτους C : ἀποστρατεύτους Vat. edd. 86/87 post αὐτοκράτορος lacunam sign. Reiff.[1] 87 ἀπὸ τῆς Kambylis : τῆς ἀπὸ C : τὸ ἀπὸ τῆς Reiff.[1] 89 καὶ del. Reinsch : κατὰ Reiff.[1] 90 ἀναφαίρετον (-ν pc) C 93 τοῦ ἀποστόλου mavult Reinsch (cf. Michael Italicus p. 61, 17–18 Gautier) : fort. τοῦ μεγάλου ante τῶν ἀπ. addendum esse putat Kambylis (coll. XV 7, 4 (33)) 94 διακονισσῶν (-κο- pc) C 95 ἰβηρίδων (ἰβη- pc) C 2 ταύτας C : corr. Poussines 6 αἰθιόπην C : corr. Reiff.[1] | λυσιμαχία C : corr. Charit. 7 οὐ τόσον Kambylis : ὀυτόσι C 15 λατῖνων $C^{ac}$ | σκύθην (-ην fort. ex -ων corr.) C



Ῥωμαῖον τὰ τῶν Ἑλλήνων συγγράμματα μεταχειριζόμενον καὶ τὸν ἀγράμματον Ἕλληνα ὀρθῶς ἑλληνίζοντα. τοιαῦτα καὶ περὶ τὴν λογικὴν παίδευσιν τὰ τοῦ Ἀλεξίου σπουδάσματα. τοῦ δὲ σχέδους ἡ τέχνη εὕρημα τῶν νεωτέρων ἐστὶ καὶ τῆς ἐφ᾽ ἡμῶν γενεᾶς. παρίημι δὲ Στυλιανούς τινὰς καὶ τοὺς λεγομένους Λογγιβάρδους καὶ ὅσους ἐπισυναγωγὴν ἐτεχνάσαντο παντοδαπῶν ὀνομάτων καὶ τοὺς Ἀττικοὺς καὶ ⟨τοὺς⟩ γεγονότας τοῦ ἱεροῦ καταλόγου τῆς μεγάλης παρ᾽ ἡμῖν ἐκκλησίας, ὧν παρίημι τὰ ὀνόματα. ἀλλὰ νῦν οὐδ᾽ ἐν δευτέρῳ λόγῳ τὰ περὶ τούτων τῶν μετεώρων καὶ ποιητῶν καὶ αὐτῶν συγγραφέων καὶ τῆς ἀπὸ τούτων ἐμπειρίας· πεττεία δὲ τὸ σπούδασμα καὶ ἄλλά τα ἔργα ἀθέμιτα. ταῦτα δὲ λέγω ἀχθομένη διὰ τὴν παντελῆ τῆς ἐγκυκλίου παιδεύσεως ἀμέλειαν. τοῦτο γάρ μου τὴν ψυχὴν ἀναφλέγει, ὅτι πολὺ περὶ ταῦτα ἐνδιατέτριφα, κἄν, ἐπειδὰν ἀπήλλαγμαι τῆς παιδαριώδους τούτων σχολῆς καὶ εἰς ῥητορικὴν παρήγγειλα καὶ φιλοσοφίας ἡψάμην καὶ μεταξὺ τῶν ἐπιστημῶν πρὸς ποιητάς τε καὶ ξυγγραφεῖς ᾖξα καὶ τῆς γλώττης τοὺς ὄχθους ἐκεῖθεν ἐξωμαλισάμην, εἶτα ῥητορικῆς ἐπαρηγούσης ἐμοὶ κατέγνων τῆς {τοῦ} πολυπλόκου τῆς σχεδογραφίας πλοκῆς. ἀλλὰ ταῦτα μέντοι προσιστορήσθω, εἰ καὶ μὴ ἐκ τοῦ παρέργου, ἀλλὰ διὰ τὸ τοῦ λόγου ἀκόλουθον.

VIII μετὰ δὲ ταῦτα ἔτους διιππεύοντος *** τῆς βασιλείας αὐτοῦ μέγιστον ἐπεγείρεται νέφος αἱρετικῶν, καὶ τὸ τῆς αἱρέσεως εἶδος καινόν, μήπω πρότερον ἐγνωσμένον τῇ ἐκκλησίᾳ. δύο γὰρ δόγματα συνηλθέτην κάκιστα καὶ φαυ|λότατα ἐγνωσμένα τοῖς πάλαι χρόνοις, Μανιχαίων τε, ὡς ἄν τις εἴποι, δυσσέβεια, ἣν καὶ Παυλικιάνων αἵρεσιν εἴποιμεν, καὶ Μασσαλιανῶν βδελυρία. τοιοῦτον δέ ἐστι τὸ τῶν Βογομίλων δόγμα, ἐκ Μασσαλιανῶν καὶ Μανιχαίων συγκείμενον, καὶ ὡς ἔοικεν, ἦν μὲν κἂν τοῖς πρὸ τοὐμοῦ πατρὸς χρόνοις, ἐλάνθανε δέ· δεινότατον γὰρ ⟨τὸ⟩ τῶν Βογομίλων γένος ἀρετὴν ὑποκρίνασθαι. καὶ τρίχα μὲν κοσμικὴν οὐκ ἂν ἴδοις βογομιλίζουσαν, κέκρυπται δὲ τὸ κακὸν ὑπὸ τὸν μανδύαν καὶ τὸ

35 μετὰ – βασιλείας αὐτοῦ: probabiliter paulum ante a. 1104

29–30 μεταξὺ – ᾖξα: cf. Eur., Alc. 962–964 ἐγὼ καὶ διὰ μούσας / καὶ μετάρσιος ᾖξα, καὶ / πλείστων ἁψάμενος λόγων

C 16 συγράμματα C : corr. Reiff.[1] 20 ἐπισυναγωγὴν scripsimus : ἐπὶ συναγωγὴν C 21 τοὺς[2] add. Reiff.[1] 23 οὐδ᾽ Reiff.[1] : οὐδὲν C 25 ἄλλά τα Reinsch : ἄλλάττα C : ἄλλα τὰ Holst. edd. 26 ἐγκυκλίου (-κυκλ- pc) C 27 ἀναφέγει $C^{ac}$ 30 ξυγγραφεῖς Kambylis : ξυγγραφὰς C : ξυγγραφέας Reiff.[1] 32 τοῦ secl. Reiff.[1] 33 προσιστορήσθω Kambylis : προσιστορείσθω C 35 ante ἔτους add. τοῦ $C^{2sl}$ | lacunam sign. Poussines in interpretatione Latina 37 συνῆλθέτην (sic) C 39 ἦν C : corr. Holst. 42 τὸ τῶν Kambylis : τῶν C : τὸ Barb.

κουκούλιον. καὶ ἐσκυθρώπακεν ὁ Βογόμιλος καὶ μέχρι ῥινὸς σκέπεται καὶ κεκυφὼς βαδίζει καὶ ὑποψιθυρίζει τὸ στόμα, τἄνδοθι δὲ λύκος ἐστὶν ἀκάθεκτος. 2 καὶ τοῦτο τὸ ἔθνος τοιοῦτον ὂν δυσφορώτατον, ὥσπερ ὄφιν ἐμφωλεύοντα τῇ χειᾷ ἐπῳδῶν ἴυγξιν ἀπορρήτοις ὁ ἐμὸς πατὴρ εἰς φῶς ἐξεκαλέσατο καὶ ἐξήνεγκεν. ἀπάρτι γὰρ τὸ πολὺ τῆς τῶν ἑσπερίων καὶ ἑῴων ἀποθέμενος φροντίδος πρὸς τὸ πνευματικώτερον ἑαυτὸν ἐπέτεινεν. ἐν πᾶσι γὰρ τῶν ἁπάντων ἐκράτει· ἐν λόγοις διδακτικοῖς τοὺς περὶ λόγον ἐσπουδακότας ἐνίκα, ἐν μάχαις δὲ καὶ στρατηγίαις τῶν ἐν ὅπλοις θαυμαζομένων ὑπερεῖχεν. 3 ὡς δὲ ἡ τῶν Βογομίλων ἁπανταχοῦ ἤδη διέσπαρτο φήμη (Βασίλειος γάρ τις μοναχὸς πολυτροπώτατος μεταχειρίσασθαι τὴν Βογομίλων ἀσέβειαν, δώδεκα μὲν ἔχων μαθητάς, οὓς καὶ ἀποστόλους ὠνόμαζε, συνεφελκόμενος δὲ καὶ μαθητρίας τινάς, γύναια κακοήθη καὶ παμπόνηρα, ἐφήπλωσε τὴν κακίαν ἁπανταχοῦ) καὶ πολλὰς ψυχὰς δίκην πυρὸς ἐπενείματο τὸ κακόν, οὐκ ἠνείχετο ἡ τοῦ βασιλέως ψυχὴ τοῦτο καὶ διερευνᾷ τὰ περὶ τῆς αἱρέσεως. καί τινες τῶν Βογομίλων εἰς τὰ ἀνάκτορα ἤγοντο, ἅπαντες δὲ Βασίλειόν τινα κατήγγελλον διδάσκαλον καὶ κορυφαῖον πρωτοστάτην τῆς βογομιλικῆς αἱρέσεως. ἐκ τούτων δὲ Διβλάτιός τις κατασχεθείς, ἐπεὶ ἐρωτώμενος ἀνομολογεῖν οὐκ ἠβούλετο, | αἰκίαις παραδοθεὶς τηνικαῦτα τὸν λεγόμενον Βασίλειον ἀνωμολόγει καὶ οὓς ἐκεῖνος προεχειρίσατο ἀποστόλους. τοίνυν τὴν τούτου ἀναζήτησιν πολλοῖς ὁ αὐτοκράτωρ ἀνέθετο. καὶ δῆτα ἀναφαίνεται ⟨ὁ⟩ τοῦ Σαταναὴλ ἀρχισατράπης Βασίλειος, τὸ ἔνδυμα μοναχός, κατεσκληκὼς τὸ πρόσωπον, τὴν ὑπήνην ψιλός, εὐμήκης τὴν ἡλικίαν, πολυτροπώτατος μεταχειρίσασθαι τὴν ἀσέβειαν. 4 καὶ αὐτίκα ὁ αὐτοκράτωρ, τὸ ἐνδομυχοῦν ἐθέλων παρασύραι ταῖς πειθανάγκαις, μετακαλεῖται τὸν ἄνδρα μεθ' οἵου προσχήματος· καὶ γὰρ καὶ θώκων ὑπεξανέστη αὐτῷ, καὶ καθέδρας μετέδωκε καὶ τραπέζης τῆς αὐτῆς, καὶ ὅλην τὴν ὁρμιὰν τῆς ἄγρας αὐτῷ κατεχάλασε, καὶ τὸ ἄγκιστρον περιπείρας παντοδαποῖς δελέασι τῷ παμφάγῳ τούτῳ κήτει παρέσχεν ἐμφαγεῖν, καὶ ὅλον τὸ φάρμακον τῷ μοναχῷ τούτῳ καὶ πολλαχῷ τὴν κακίαν φέρων ἐνέχει διὰ παντοίων ὑποκρινόμενος μαθητὴς αὐτῷ ἐθέλειν γενέσθαι, οὐκ αὐτὸς τάχα μόνος, ἀλλὰ καὶ ὁ αὐτοῦ ἀδελφὸς Ἰσαάκιος ὁ σεβαστοκράτωρ, καὶ πάντα τὰ παρ' αὐτοῦ λεγόμενα ὡς ἐκ θείας ὀμφῆς λογίζεσθαι καὶ ὑπείκειν τούτῳ ἐν πᾶσιν, εἰ μόνον τὴν τῆς ψυχῆς αὐτῷ σωτηρίαν πραγματεύσοιτο ὁ κάκιστος Βασίλειος. „καὶ ἐγὼ μέν", φησιν, „ὦ πάτερ τιμιώτατε", (περιέχριε γὰρ τοῖς γλυκέσι τούτοις ὁ βασιλεὺς τὴν κύλικα, ὡς ἐξεμέσαι τὸν δαιμονιῶντα τὴν μελαγχολίαν αὐτοῦ) „ἄγαμαί σε τῆς

C 46 ὑπὸ (fin. lin.) ψιθυρίζει C 47 δυσφώρατον Charit. 59 τοῦτο Reiff.[1] : τῶ τοι (sic) C 60 κατήγγελον C edd. : corr. Charit. 63/64 ἀνωμαλόγει C : corr. Barb. 65 ὁ add. Kambylis 66/67 κατεσκληκὸς C[ac] 67–68 πολυτροπώτατος – ἀσέβειαν secl. Reiff.[1] coll. XV 8, 3 (54–55) 72 ὁρμιὰν (-ιὰν pc) C



ἀρετῆς ἕνεκα· ἀξιῶ σε δὲ καταμαθεῖν, τίνα τὰ παρὰ τῆς σῆς τιμιότητος εἰσηγούμενα, ὡς τά γε τῶν ἡμετέρων μόνον φαῦλα καὶ εἰς οὐδεμίαν ἀρετὴν φέροντα". ὁ δὲ τὰ πρῶτα μὲν ἐσχηματίζετο, καὶ τὴν λεοντὴν ὁ κατὰ ἀλήθειαν ὄνος ἐκεῖνος ἐφεῖλκεν εἰς ἑαυτὸν πανταχόθεν, καὶ ἀπεπήδα πρὸς τὰ λεγόμενα, πλὴν ἐχαυνώθη τοῖς ἐπαίνοις· καὶ γὰρ καὶ ὁμοδίαιτον ἐποίησε τοῦτον. συμπαρῆν δ' ἄρα τούτῳ ἐν | πᾶσι καὶ συνεδραματούργει καὶ ὁ τοῦ βασιλέως αὐτάδελφος καὶ σεβαστοκράτωρ. 5 ὁ δὲ τὰ τῆς αἱρέσεως δόγματα ἀπήμεσε. καὶ ὁ τρόπος ὁποῖος· παραπέτασμα γὰρ μεταξὺ τήν τε γυναικωνίτιν ἀπετείχιζε καὶ τοὺς βασιλεῖς μετὰ τοῦ βδελυροῦ τούτου πάνθ', ὅπως εἶχεν ἐν τῇ ψυχῇ, ἐξερευγομένου καὶ ἀναφανδὸν λέγοντος· ὁ δὲ γραμματεὺς ἀπεγράφετο ἔνδοθεν τοῦ πετάσματος τὰ λεγόμενα. καὶ ὁ μὲν λῆρος ἐκεῖνος διδάσκαλος τῷ δοκεῖν ἐγίνετο, ἐσχηματίζετο δὲ τὴν μαθητείαν ὁ βασιλεύς, ἀπεγράφετο δὲ τὰ τῆς διδασκαλίας ὁ ὑπογραμματεύς. πάντα δὲ ῥητά τε καὶ ἄρρητα ἐπισυνεῖρεν ὁ θεοπληγὴς ἐκεῖνος ἀνήρ, καὶ οὐδενὸς ἐφείσατο θεομισοῦς δόγματος, ἀλλὰ καὶ τὴν θεολογίαν ἡμῶν παρεβλέψατο καὶ τὴν οἰκονομίαν πᾶσαν ἐφάντασε καὶ τοὺς ναούς, οἴμοι, τοὺς ἱεροὺς ναοὺς δαιμόνων ὠνόμακε, καὶ τὸ τελούμενον παρ' ἡμῖν σῶμα καὶ αἷμα τοῦ πρώτου καὶ ἀρχιερέως καὶ θύματος παρὰ φαῦλον ἔθετο καὶ ἐλογίσατο. ' 6 ἀλλὰ τί τὸ ἐντεῦθεν; ἀπορρίπτει τὴν σκηνὴν ὁ βασιλεὺς καὶ ἀναπετάννυσι τοῦτο· καὶ τὸ συγκλητικὸν ἅπαν συνήθροιστο καὶ τὸ στρατιωτικὸν συνείλεκτο σύνταγμα καὶ ἡ γερουσία τῆς ἐκκλησίας συνῆν. προὐκάθητο δ' ἄρα τὸ τηνικαῦτα τοῦ τῆς βασιλίδος πόλεως θρόνου ὁ ἐν πατριάρχαις μακαριώτατος ὁ Γραμματικὸς ὁ κῦρ Νικόλαος. καὶ ἀνεγινώσκετο τὰ θεοστυγῆ δόγματα καὶ ὁ ἔλεγχος ἀδιάβλητος. καὶ οὐδὲ ὁ τῆς ἐναντίας μοίρας ἔξαρνος ἦν, ἀλλ' αὐτίκα καὶ γυμνῇ τῇ κεφαλῇ πρὸς ἐναντιολογίας ἐχώρει καὶ πρὸς πῦρ καὶ μάστιγας καὶ μυρίους θανάτους ἀντιπαρατάξασθαι ὑπισχνεῖτο. πεπιστεύκασι γὰρ οἱ πλανώμενοι οὗτοι Βογόμιλοι πᾶσαν ἀπόνως ὑπενεγκεῖν τιμωρίαν, ἀγγέλων δῆθεν ἐξαρπαζόντων αὐτοὺς τῆς πυρ-

10 ὁ Γραμματικὸς ὁ κῦρ Νικόλαος: patriarcha Constantinopoleos a. 1084–1111

84–85 τὴν λεοντὴν – πανταχόθεν: cf. fabulam Aesopicam 199 Hausrath-Hunger 12 γυμνῇ τῇ κεφαλῇ . . . ἐχώρει: v. ad XV 3, 3 (34–35)

C 83 μόνον C : μονονοὺ Reiff.[1] 87 ἄρα C : ἅμα Leo Allatius 88 αὐτάδελφος dubit. Reiff.[1] Dölger : ἐξάδελφος C : ἀδελφὸς dubit. Kambylis 95 ἐπισυνῆρεν C : corr. Reiff.[1] 2 ἡμῶν Reiff.[1] : ἡμῖν C 2/3 ἐφάντασε C : ἐφαύλισε fortasse scribendum Reinsch coll. XIII 1, 8 (75) : ἠφάνισε Reiff.[1] : ἠφάντωσε Charit. 6 τοῦτο C : τὸ παραπέτασμα τοῦτο dubit. Reiff.[1] : τὸ ὕφος dubit. Reiff.[2] : τὸ φᾶρος Charit. 10 γραμματικὸς suppl. in fenestra C[2] 11 ἔξαρχος C : corr. Barb.[im] 15 αὐτοὺς Kambylis : αὐτῆς C

καΐᾶς. πολλὰ δὲ | πάντων αὐτῷ καὶ τὴν ἀσέβειαν ὀνειδιζόντων καὶ ὅσοι τῆς αὐτοῦ ἀπωλείας αὐτῷ κεκοινωνήκασιν, ὁ αὐτὸς ἦν Βασίλειος, ἀμετακλινής, Βογόμιλος γενναιότατος. καίτοι πυρκαΐᾶς ἀπειλουμένης καὶ ἄλλων κακώσεων ἀπρὶξ τοῦ δαίμονος εἴχετο καὶ τὸν αὐτοῦ Σαταναὴλ ἠγκαλίζετο. ἔμφρουρος δὲ γενόμενος καὶ πολλάκις πρὸς τοῦ βασιλέως ⟨μετα⟩πεμπόμενος καὶ πολλάκις παρακαλούμενος τὴν ἀσέβειαν ἐξομόσασθαι, ὡσαύτως εἶχε πρὸς τὰς τοῦ βασιλέως παρακλήσεις. 7 ἀλλὰ τὸ περὶ τοῦτον γεγονὸς τέρας μὴ παραδράμωμεν· πρινὴ γὰρ τούτῳ ἐπιβλέψαι τὸν βασιλέα δριμύτερον μετὰ τὴν τῆς ἀσεβείας ἐξαγόρευσιν, ἀπῄει μὲν τῷ τέως εἰς οἰκίσκον τινὰ κείμενον ἀγχοῦ που τῶν βασιλικῶν οἰκημάτων ἄρτι πρώτως δι' αὐτὸν κατασκευασθέντα. ἑσπέρα δ' ἦν καὶ οἱ ἀστέρες οἱ ἄνω αἰθρίας οὔσης ἀπήστραπτον καὶ ἡ σελήνη μετὰ τὴν σύνοδον ⟨τὴν⟩ ἑσπέραν ἐκείνην ἐπύρσευε. τοῦ δὲ μοναχοῦ τὴν κέλλαν εἰσδύντος, περὶ μέσας νύκτας αὐτομάτως λίθοι χαλαζηδὸν κατὰ τῆς κέλλης ἐβάλλοντο, χειρὸς μὲν μηδεμιᾶς ῥιπτούσης τοὺς λίθους μηδέ τινος καταλιθοῦντος ἀνθρώπου τὸν δαιμονιώδη τοῦτον ἀββᾶν. μήνιμα δ' ἦν, ὡς ἔοικε, τῶν ἀμφὶ τὸν Σαταναὴλ δαιμόνων ἐξωργισμένων, ἐν δεινῷ ποιουμένων ὅτι δὴ τὰ πρὸς τὸν βασιλέα ἐξωρχήσατο καὶ διωγμὸν κατὰ τῆς πλάνης λαμπρὸν ἐπήγαγε. καὶ ταῦτα μὲν Παρασκευιώτης ⟨τίς⟩ καλούμενος ἀφορισθεὶς φύλαξ εἶναι τοῦ δαιμονιώδους ἐκείνου γέροντος, ὡς μὴ ἄδειαν ἔχειν προ⟨σο⟩μιλεῖν τισι καὶ τῆς αὐτοῦ λύμης μεταδιδόναι, τὰ φρικωδέστατα ἐπώμνυτο ἰδεῖν τὲ καὶ ἀκοῦσαι· ⟨ἀκοῦσαι⟩ μὲν τοὺς τῶν βαλλομένων λίθων καὶ κατὰ γῆς καὶ κατὰ κεράμων κρότους, ἰδεῖν δὲ | συνεχεῖς καὶ ἀλλεπαλλήλους τοὺς λίθους, μηδένα δὲ μηδαμοῦ τὸν βάλλοντα τούτους θεάσασθαι. συνεπελάμβανε γὰρ τῇ τῶν λίθων φορᾷ καὶ σεισμός τις ἀθρόος καὶ τὸ ἐπίπεδον ἐκεκλόνητο καὶ τὰ περὶ τὸν ὄροφον ἐτετρίγεσαν. ὁ μέντοι Παρασκευιώτης, πρὶν μὲν ὑπονοῆσαι τὸ ἔργον δαιμόνιον, ἐθάρρει, ὡς ἐκεῖνος ἔφασκεν, ὁρῶν δὲ ὅτι οἱ μὲν λίθοι ἄνωθεν, οἷον εἰπεῖν, ἐξωμβρίζοντο καὶ τὸ γερόντιον ἐκεῖνο τὸ αἱρεσιαρχικὸν ἐνεδεδύκει τὲ καὶ ἐναποκέκλειστο, εἰς δαίμονας τὸ ἔργον ἀνενεγκὼν οὐκ εἶχεν ὅ τι καὶ γένοιτο.

C 16 πολλὰ Kambylis : πολλῶν C : ἀπειλούντων dubit. Reiff.[1] | αὐτῷ Reiff.[1] Kambylis : αὐτῶν C 20 γενόμενος καὶ πολλάκις Reiff.[1] : πολλάκις γενόμενος καὶ C 21 μεταπεμπόμενος Kambylis coll. XI 2,7 (76); XV 1,1 (11); 1,3 (40); 1,6 (80); 3,1 (89);9,2 (67); 11,5 (75) : πεμπόμενος C 23 τέρας Reiff.[1] : πέρας C 27 οἱ fort. delendum putat Kambylis 28 τὴν add. Leo Allatius 30 μὴ δὲ μιᾶς C 31 ἀβᾶν C : corr. Leo Allatius 33 post τὰ verba αὐτῶν μυστήρια vel similia addenda putat Reiff.[1] 34 Παρασκευιώτης τις Reiff.[1] : παρασκευιώτης (-ώ- pc -η- ex -ι- corr.) C 36 προσομιλεῖν Holst. : προμιλεῖν C 37 ἰδεῖν τὲ καὶ secl. Reiff.[1] | ἀκοῦσαι[2] add. Kambylis 38 λίθους C : corr. Reiff.[1] | κρότον C : corr. Reiff.[1] 39 ἀλλ' ἐπαλλήλους C | μὴδένα C 40 γὰρ C : δὲ dubit. Reiff.[1] 42 ἐτετρίγεσαν $C^{ac}$ : ἐτετρύγεσαν $C^{pc}$ edd. 44 αἱρασιαρχικὸν $C^{ac}$



IX τὰ μὲν οὖν τοῦ τέρατος τούτου ταύτῃ ἐχέτω. ἠβουλόμην δὲ καὶ πᾶσαν τὴν τῶν Βογομίλων διηγήσασθαι αἵρεσιν, ἀλλά με κωλύει καὶ αἰδώς, ὥς πού φησιν ἡ καλὴ Σαπφώ, ὅτι συγγραφεὺς ἔγωγε γυνὴ καὶ τῆς πορφύρας τὸ τιμιώτατον καὶ τῶν Ἀλεξίου πρώτιστον βλάστημα, τά τε εἰς ἀκοὴν πολλῶν ἐρχόμενα σιγῆς ἄξια βούλομαι μὲν γράφειν, ἵνα τὸ πλῆρες τῆς τῶν Βογομίλων παραστήσω αἱρέσεως, ἀλλ' ἵνα μὴ τὴν γλῶτταν μολύνω τὴν ἐμαυτῆς, παρίημι ταῦτα. παραπέμπω δὲ τοὺς βουλομένους τὴν ὅλην αἵρεσιν τῶν Βογομίλων διαγνῶναι εἰς τὸ οὕτω καλούμενον βιβλίον Δογματικὴν Πανοπλίαν ἐξ ἐπιταγῆς τοὐμοῦ πατρὸς συντεθεῖσαν. καὶ γὰρ μοναχόν τινὰ Ζυγαδηνὸν καλούμενον, γνωστὸν μὲν τῇ δεσποίνῃ καὶ πρὸς μητρὸς ἐμῇ μάμμῃ καὶ πᾶσι τοῖς τοῦ ἱερατικοῦ καταλόγου, γραμματικῆς δὲ εἰς ἄκρον ἐληλακότα καὶ ῥητορικῆς οὐκ ἀμελέτητον ὄντα καὶ τὸ δόγμα ὡς οὐκ ἄλλος τὶς ἐπιστάμενον, τοῦτον ὁ αὐτοκράτωρ μεταπεμψάμενος ἐπέταξεν ἁπάσας τὰς αἱρέσεις ἐκθέσθαι ἑκάστην ἰδίᾳ καὶ ἐφ' ἑκάστῃ τὰς τῶν ἁγίων πατέρων ἀνατροπὰς ἐγγράψασθαι καὶ αὐτῶν δὴ τῶν Βογομίλων τὴν αἵρεσιν, καθὼς ὁ ἀσεβὴς ἐκεῖνος Βασίλειος ὑφηγήσατο. ταύτην τὴν βίβλον Δογματικὴν Πανοπλίαν ὁ αὐτοκράτωρ ὠνόμασε. {μέχρι τοῦ | νῦν οὕτω προσαγορεύεται τὰ βιβλία.} 2 ὁ δὲ λόγος αὖθις πρὸς τὴν τοῦ Βασιλείου καθαίρεσιν ἀνατρεχέτω. ὁ γὰρ αὐτοκράτωρ τοὺς ἁπανταχοῦ γῆς μαθητὰς καὶ συμμύστας τοῦ Βασιλείου μεταπεμψάμενος, καὶ μάλιστα τοὺς δώδεκα λεγομένους μαθητάς, ἀπεπειρᾶτο καὶ τούτων τῆς γνώμης. καὶ ἦσαν ἄντικρυς μαθηταὶ Βασιλείου. καὶ γὰρ ἐνεβάθυνε τὸ κακὸν καὶ εἰς οἰκίας μεγίστας καὶ πολλοῦ πλήθους ἥψατο τὸ δεινόν. καθάπαξ οὖν κατεψηφίσατο πυρκαΐαν τῶν ἀλλοτρίων, τοῦ τε κορυφαίου καὶ τοῦ χοροῦ· ἀθροιζομένων γὰρ τῶν φωραθέντων Βογομίλων καὶ τῶν μὲν τῆς σφῶν ἀντιποιουμένων αἱρέσεως, τῶν δ' ἀπαρνουμένων παντάπασι καὶ πρὸς τοὺς ἐλέγχοντας ἰσχυρῶς ἀνθισταμένων καὶ τὴν βογομιλικὴν διαπτυόντων αἵρεσιν, ἐπεὶ ἑτοίμως ὁ αὐτοκράτωρ τούτοις πιστεύειν οὐκ εἶχεν, ἵνα μή τις πολλάκις Χριστιανὸς τοῖς Βογομίλοις ὡς Βογόμιλος ἀναμίγνυται ἢ Βογόμιλος ὡς Χριστιανὸς διαδράσῃ, καινόν τινα τρόπον ἐπινοεῖται, δι' οὗ οἱ ὄντως Χριστιανοὶ ἀποφανθήσονται. 3 ἐπὶ τοῦ βασιλικοῦ τοίνυν τῇ μετ' αὐτὴν καθῆστο θρόνου. πολλοὶ δὲ τηνικαῦτα παρῆσαν τῆς τε συγκλή-

48–49 ἀλλά με – Σαπφώ: fr. 137, 1–2 Lobel-Page θέλω τί τ' εἴπην, ἀλλά με κωλύει αἴδως

C 55 τοῦμοῦ $C^{ac}$ 56 ζυγαδηνὸν (-η- ex -ι- corr.) C : Ζυγαβηνὸν Leo Allatius 61 ἑκάστῃ Leo Allatius : ἑκάστω C 64 μέχρι – βιβλία ut glossema secl. Kambylis 65 βασιλείου $C^{pc}$ : βασιλέως $C^{ac}$ 66 συμμύστας (-ύ- pc) C 67/68 μαθητὰς C : ἀποστόλους dubit. Reiff.[1] : μαθητὰς καὶ ἀποστόλους dubit. Kambylis coll. XV 8,3 (55–56) 69 ἐνεβάθυνε Reiff.[1] : ἐνεβόθυνε C 70 πλήθους Barb. : πλήθου C 76 Βογόμιλος[1] Holst. : βογομίλου C | Βογόμιλος[2] Reiff.[1] : βογόμιλον C 78 ἀποφρανθήσονται $C^{ac}$

του καὶ τῆς ἱερᾶς συνόδου καὶ τῶν Ναζιραίων αὐτῶν, ὁπόσοι λόγου μετεῖχον, λογάδες. πάντων δὲ τῶν τὴν βογομιλικὴν ἐγκαλουμένων αἵρεσιν ἐς τὸ μέσον ὁμοῦ παραχθέντων, ὁ αὐτοκράτωρ αὖθις ἐπερωτᾶσθαι ἕκαστον ἐκέλευσεν. ὡς δὲ οἱ μὲν ὡμολόγουν Βογόμιλοι εἶναι καὶ τῆς σφῶν ἰσχυρῶς ἀντεποιοῦντο αἱρέσεως, οἱ δὲ παντάπασιν ἀνένευον Χριστιανοὺς ἑαυτοὺς ὀνομάζοντες καὶ παρ' ἄλλων ἐλεγχόμενοι οὐδαμῶς κατετίθεντο, ἐπιτοξεύσας αὐτοῖς τὰς ὀφρῦς ἔφη· „χρὴ τὴν σήμερον δύο καμίνους ἀναφθῆναι, θατέρᾳ δὲ τούτων σταυρὸν ἐμπαγῆναι αὐτῇ γῇ, εἶτα αἵρεσιν δοθῆναι πᾶσιν, ἵν' ὁποῖοι τῇ τῶν Χρισ|τιανῶν πίστει ἐναποθανεῖν τὴν σήμερον βούλοιντο, ἀποκριθέντες τῶν ἄλλων τῇ τοῦ σταυροῦ καμίνῳ προσχωρήσωσιν, οἱ δὲ τῆς βογομιλικῆς αἱρέσεως ἀντεχόμενοι πρὸς θατέραν ἐμβληθήσονται. βέλτιον γὰρ Χριστιανοὺς αὐτοὺς ὄντας ἀποθανεῖν ἢ ζῶντας ὡς Βογομίλους διώκεσθαι καὶ τὰς τῶν πολλῶν τύπτειν συνειδήσεις. ἄπιτε γοῦν καὶ ὑμεῖς καὶ ὑμεῖς· ὅπῃ βουλητόν, ἕκαστος χωρείτω". 4 ταῦτα μὲν οὖν πρὸς τοὺς Βογομίλους ἀποφηνάμενος ὁ βασιλεὺς ἐν σχήματι ἀπέλυσεν. εὐθὺς οὖν παραλαβόντες τούτους ἀπήεσαν καὶ πλῆθος παρειστήκει πολὺ συρρεόντων ἑκασταχοῦ. κάμινοι δύο τηνικαῦτα ἑπταπλασίως κατὰ τὸν μελῳδὸν ἀνήπτοντο εἰς τὸ οὑτωσί πως καλούμενον Τζυκανιστήριν. τὸ πῦρ εἰς οὐρανοὺς ἀνήει. ὁ σταυρὸς ἐπὶ θατέρᾳ ἵστατο· αἵρεσις τοῖς ἐνόχοις ἐδίδοτο, ὅπῃ ποτ' ἂν βουλητὸν ἑκάστῳ, χωρεῖν, ὡς καυθησομένων ἁπάντων. εἶτα τὸ ἄφυκτον ὁρῶντες τοῦ πράγματος, ὁπόσοι μὲν ἐν αὐτοῖς ὀρθόδοξοι ἦσαν, τῇ τοῦ σταυροῦ προσεχώρουν καμίνῳ ὡς ὄντως μαρτυρήσοντες· οἱ δέ γε ἀθεώτατοι τῆς μυσαρᾶς ἀντεχόμενοι αἱρέσεως πρὸς θατέραν ἀπένευσαν. 5 καὶ ἀπάρτι τούτων ἐν ταῖς καμίνοις ὁμοῦ ἐρρίφθαι μελλόντων, οἱ μὲν παρεστῶτες ἅπαντες ὑπὲρ τῶν Χριστιανῶν ἤλγουν ὡς καυθησομένων ἤδη καὶ τοῦ βασιλέως πολλὰ κατεστύγναζον ἀγνοοῦντες τὸ οἰκονομούμενον. ἀλλὰ βασιλική τις πρόσταξις προκαταλαβοῦσα τοὺς δημίους ἐκείνους ἀπεῖρξε τοῦ ἐγχειρήματος. καὶ οὕτω βεβαίαν τὴν τῶν Βογομίλων ὄντως ὁ αὐτοκράτωρ ἐσχηκὼς κατάληψιν τοὺς συκοφαντουμένους Χριστιανοὺς πολλὰ παραινέσας ἀπέλυσεν, ἐκείνους δὲ πάλιν εἱρκταῖς εἶχε διαιρήσας τοὺς ἀποστόλους τοῦ ἀσεβοῦς Βασιλείου διακρίνας τῶν ἄλλων. εἶτα καθεκάστην ⟨μετα⟩πεμπόμενος τοὺς μὲν δι' ἑαυτοῦ ἐδίδασκεν πολλὰ παραινῶν τῆς μυσαρᾶς | ἀποσχέσθαι θρησκείας, πρὸς δὲ τοὺς ἄλλους λογάδας τινὰς τοῦ ἱεροῦ τῆς ἐκκλησίας συντάγματος ἐπέσκηψε καθεκάστην παραγινομένους ἀναδιδάσκειν αὐτοὺς τὴν ὀρθόδοξον πίστιν καὶ παραινεῖν ἀποσχέσθαι τῆς βογομιλικῆς αἱρέσεως. καὶ τινὲς μὲν τούτων μετέβαλον ἐπὶ τὸ βέλτιον καὶ τῆς φρουρᾶς ἀπελύθησαν, οἱ δὲ τῇ σφῶν ἐναπέθανον αἱρέσει ἐν εἱρκταῖς κατεχόμενοι, τροφῆς μέντοι καὶ ἀμφίων δαψιλῆ τὴν χορηγίαν ἔχοντες.

X τὸν μέντοι Βασίλειον, ὡς ὄντως αἱρεσιάρχην καὶ ἀμεταμέλητον παντάπασιν, ἅπαντες τῆς ἱερᾶς συνόδου καὶ τῶν Ναζιραίων λογάδες καὶ αὐτὸς δὲ ὁ τότε πατριάρχης Νικόλαος πυρὸς ἄξιον ἔκριναν. οἷς καὶ ὁ αὐτοκράτωρ σύμψηφος ἦν πολλὰ πολλάκις προσομιλήσας αὐτῷ καὶ ἄνδρα σκαιὸν διαγνοὺς καὶ τῆς αἱρέσεως μὴ ἀφιστάμενον· ἔνθέν τοι καὶ πυρκαϊὰν μεγίστην κατὰ τὸν ἱππόδρομον ἀνάψας (βόθρος τε ὠρώρυκτο μέγιστος καὶ ξύλων πλῆθος, πάντα δένδρα ὑψίκομα, καὶ συντεθέντα ὄρος ἐδείκνυ τὴν σύνθεσιν), εἶτα τῆς πυρᾶς ἀναφθείσης ἠρέμα μὲν τὸ πλῆθος πολὺ κατά τε τὸ ἐπίπεδον τοῦ ἱππικοῦ καὶ κατὰ τοὺς βαθμοὺς συνέρρει καραδοκοῦντες πάντες τὸ γενησόμενον. ἐκ θατέρου σταυρὸς ἐπήγνυτο καὶ αἵρεσις ἐδίδοτο τῷ ἀσεβεῖ· εἴ που τὸ πῦρ πτοηθεὶς καὶ μεταβαλὼν τὴν γνώμην ἐπὶ τὸν σταυρὸν χωρήσειε, τῆς καμίνου τηνικαῦτα ἐλεύθερος γένηται. 2 παρῆν δὲ καὶ τὸ τῶν αἱρετικῶν πλῆθος ὁρῶν τὸν κορυφαῖον Βασίλειον. ὁ δὲ πρὸς ἅπασαν τιμωρίαν καὶ ἀπειλὴν καταφρονητικὸς κατεφαίνετο καὶ πορρωτέρω μὲν ὢν τῆς πυρκαϊᾶς κατεγέλα καὶ ἐτερατεύετο, λέγων ἁρπάσειν αὐτὸν ἐκ μέσου πυρὸς ἀγγέλους τινάς, καὶ ὑπέψαλλε τὸ Δαυιτικὸν ἐκεῖνο τὸ „πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις". ἀλλ' | ἐπειδὰν τὸ πλῆθος διαναστὰν ἐδίδου μετὰ παρρησίας αὐτῷ κατιδεῖν τὸ φρικῶδες ἐκεῖνο θέαμα τῆς πυρκαϊᾶς (καὶ γὰρ ἐκ πολλοῦ διαστήματος ᾐσθάνετο τοῦ πυρὸς καὶ ἐπαιρομένην τὴν φλόγα ἑώρα καὶ βροντῶσαν οἷον καὶ ἀποσπάδας ἀφιεῖσαν πυρὸς εἰς ὕψος μετεωριζομένας τῆς μέσον τοῦ ἱππικοῦ ἱσταμένης πυραμίδος λιθίνης), ἐνταῦθα ὁ θρασὺς ἐκεῖνος ἀποδειλιᾶν πρὸς τὸ πῦρ καὶ θορυβεῖσθαι ἐδόκει. ἔστρεφε γὰρ τὰς ὄψεις πολλάκις καὶ ἐκρότει τὰς χεῖρας καὶ ἐπάτασσε τὸν μηρὸν οἷον τοῖς ὅλοις ἐξαπορούμενος. 3 ὅμως καὶ οὕτως ἔχων καὶ ἀπὸ μόνης τῆς θέας ὡς ἀδαμάντινος ἦν. οὔτε γὰρ τὸ

1–2 κάμινοι – ἀνήπτοντο: Dan. 3, 19 καὶ ἐπέταξε καῆναι τὴν κάμινον ἑπταπλασίως παρ' ὃ ἔδει αὐτὴν καῆναι; cf. Rom. Mel. 46 ιε', 4 (p. 387 Maas-Trypanis) ἑπτάκις ὑπὲρ τὸ πρῶτον ἐκπυρώσατε τὴν κάμινον; Cosmas Maiumensis, p. 189, 17 Christ-Paranikas ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτέ

C 87 θατέρως C[ac] 88 ἐναποθανεῖν dubit. Reiff.[1] coll. XV 10, 4 (90) : ἐπαποθανεῖν C 93 post καὶ ὑμεῖς[1] add. καὶ ἡμεῖς C[1 sl] : ad quod spectans δεύτερον τὸ ἡμεῖς superscripta littera ῠ C[2 im] 4 θατέρ(ᾳ) vel θατέρ(ας) C 9 ταῖς Reiff.[1] : τοῖς C 17 μεταπεμπόμενος Kambylis (cf. ad XV 8, 6 (21)) : πεμπόμενος C



41–42 τὸ Δαυιτικὸν – κατανοήσεις: Ps. 90, 7–8 πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις

C 21 βωγομιλικῆς C[pc] : γνωμικῆς C[ac] 22 τῇ C[pc] : τῆς C[ac] | ἐναπέθανον Reiff.[1] coll. XV 10, 4 (90) : ἐπαπέθανον C 30 ὑπόδρομον (ῠ- pc) C : corr. Holst. 35 μεταβαλὼν Barb. : μεταβὼν C 36 ante τῆς add. ἵνα Reiff.[1] 42 διαναστὰν Reiff.[1] : διανιστᾶν C 46 μετεωριζομένας Reiff.[1] : μετεωριζομένης C 49 τοῖς ὅλοις C[pc] | ἐξαπορούμενος Vat. : ἐξαπορουμένου C[ac] : ἐξαπορούμενον C[pc] | ὅμως καὶ C[pc] : καὶ ὅμως C[ac]

πῦρ κατεμάλαξε τὴν σιδηρᾶν αὐτοῦ ψυχὴν οὔτε αἱ τοῦ αὐτοκράτορος πρὸς αὐτὸν διαπόμπιμοι διαμηνύσεις κατέθελξαν, ἀλλ' εἴτε ἀπόνοια μεγίστη τοῦτον κατείληφε διὰ τὴν παρεστῶσαν ἀνάγκην καὶ συμφορὰν καὶ ἀπόρως οὕτως εἶχε τῆς γνώμης καὶ διάκρισιν οὐδοπωσοῦν ἐλάμβανε τοῦ συμφέροντος, εἴτε καὶ ὁ κατασχὼν τὴν ψυχὴν αὐτοῦ διάβολος, ὅπερ καὶ μᾶλλον δοκεῖ, σκότος αὐτοῦ βαθύτατον κατεσκέδασεν, εἱστήκει πρὸς πᾶσαν ἀπειλὴν καὶ πρὸς πάντα φόβον ἀμηχανῶν ὁ κατάπτυστος ἐκεῖνος Βασίλειος, καὶ νῦν μὲν πρὸς τὴν πυρκαϊὰν ἐκεχήνει, νῦν δὲ πρὸς τοὺς παρεστῶτας. καὶ πᾶσιν ὡς ἀληθῶς κατεφαίνετο μεμηνὼς καὶ μήτε πρὸς τὴν πυρκαϊὰν ἐφορμῶν μήτ' ὀπισθόπους ὅλως γινόμενος, ἀλλ' ἐπεπήγει καὶ ἀκίνητος ἦν, ἐφ' οὗ που καὶ τὰ πρῶτα κατελάβετο. πολλῶν δὲ λόγων ῥεόντων καὶ τῶν τερατολογιῶν αὐτοῦ διὰ πάσης γλώττης φερομένων, δείσαντες οἱ δήμιοι μή πως ἄρα οἱ ἀμφὶ τὸν Βασίλειον δαίμονες ἄτοπόν τι τερατουργήσειαν, παραχωροῦντος Θεοῦ, καὶ ἀλώβητος ἐκ μέσου τοῦ τοσούτου πυρὸς ὀφθείη ὁ κάκιστος πρός τινα τόπον δημοσιώτατον ἀφιγμένος καὶ γένηται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης, δοκιμασίαν τινὰ ἔδοξαν ποιή|σασθαι. 4 τερατευομένου γὰρ ἐκείνου καὶ αὐχοῦντος, ὡς ἐκ μέσου τοῦ πυρὸς ἀλώβητος ὀφθήσεται, ἀναλαβόμενοι τὸν μανδύαν αὐτοῦ ἔφασαν ὡς „ἴδωμεν εἰ μὴ τῶν σῶν ἀμφίων ἅψεται τὸ πῦρ". καὶ παραχρῆμα εἰς μέσον ἔρριψαν τῆς καμίνου. ὁ μὲν οὖν Βασίλειος ἐπὶ τοσοῦτον ἐγάννυτο ὑπὸ τοῦ ἐξαπατῶντος αὐτὸν δαίμονος λέγων ὡς „ὁρᾶτε τὸν μανδύαν εἰς ἀέρα ἀνιπτάμενον"; οἱ δέ, ἐκ τοῦ κρασπέδου τὸ ὕφασμα κατανοήσαντες, ἄραντες ὦσαν αὐτὸν αὐτοῖς ἱματίοις καὶ ὑποδήμασιν ἐς τὸ μέσον τῆς καμίνου. καὶ τοσοῦτον, ὥσπερ κατ' αὐτοῦ θυμουμένη, ἡ φλὸξ διεβοσκήθη τὸν ἀσεβῆ ὥστε μηδὲ κνίσσαν τινὰ γενέσθαι μηδὲ καπνοῦ τινος καινοτομίαν ἑτέραν, ἀλλ' ἢ μόνον λεπτήν τινα γραμμὴν καπνώδη φανῆναι κατὰ τὸ μέσον τῆς φλογός. καὶ γὰρ καὶ τὰ στοιχεῖα κατὰ τῶν ἀσεβῶν ἐπαίρεται, φείδεται δέ, ὥς γε τἀληθὲς εἰπεῖν, τῶν θεοφιλῶν, ὥσπέρ ποτε ὑπεχώρει καὶ ὑπείκαθε τοῖς θεοφιλέσιν ἐκείνοις νεανίαις ἐν Βαβυλῶνι καὶ περιέστεφεν αὐτοὺς τὸ πῦρ καθάπέρ τις χρυσοειδὴς θάλαμος. ἐνταῦθα δὲ τὸν ἀλάστορα τοῦτον Βασίλειον οὔπω ἀκριβῶς οἱ τοῦτον μετεωρίσαντες εἶχον, καὶ ἡ φλὸξ ἐδόκει προεκτρέχειν ἐφ' ᾧ τὸν δυσσεβῆ ἐξαρπάσαι. τὸν δ' ὑπόλοιπον ἀριθμόν, ὅσοι τῆς ἀπωλείας ἦσαν τοῦ Βασιλείου, σφαδᾴζοντος τοῦ παρεστηκότος

---

66 καὶ γένηται – πρώτης: Matth. 27,64 καὶ ἔσται ἡ ἐσχάτη πλάνη χείρων τῆς πρώτης 72–73 ἐκ – κατανοήσαντες: v. ad XIV 3,7 (17–18) 78–81 φείδεται – θάλαμος: Dan. 3,49–50

---

C 51 αἱ τοῦ $C^{pc}$ : αὐτοῦ $C^{ac}$ 59 μεμηὼς $C^{ac}$ 65 τοῦ $C^{1 sl}$ 69. 72 μάνδιν $C^{ac}$ 71 τοσοῦτον $C^{pc}$ : τοῦτο $C^{ac}$ | ἐργάννυτο $C^{ac}$ 83 ἐφῶ C | δ' ὑπόλοιπον ex εὐυπόλοιπον corr. $C^{1}$



λαοῦ καὶ βιαζομένου ἐπιρρίψειν καὶ αὐτοὺς τῷ πυρί, ὁ αὐτοκράτωρ οὐ συνεχώρησεν ἐγκλεισθῆναι κελεύσας ἐν ταῖς τῶν μεγίστων ἀνακτόρων στοαῖς καὶ τοῖς περιδρόμοις· καὶ τούτου γεγονότος διελύθη τὸ θέατρον. καὶ μετὰ ταῦτα διαδέχεται τοὺς ἀθέους τίς ἄλλη ἀσφαλεστάτη φρουρά, εἰς ἣν ἐμβληθέντες καὶ πολύν τινα χρόνον διατετριφότες τῇ ἀσεβείᾳ αὐτῶν ἐναπέθανον. 5 τοῦτο μὲν οὖν ὕστατον ἔργον καὶ ἆθλον τῶν μακρῶν ἐκείνων πόνων καὶ κατορθωμάτων τοῦ αὐτοκράτορος καὶ καινο-|πραγία τίς καὶ τόλμη παράδοξος. καί, οἶμαι, ὁ τότε παρὼν ἢ καὶ συνὼν ἐκείνῳ θαυμάζει μέχρι τοῦ νῦν καὶ οὐχ' ὕπαρ τὰ τότε γεγενημένα θεάσασθαι δοκεῖ, ἀλλ' ὄνειρος τίς αὐτῷ καὶ φαντασία φαίνεται. καὶ γὰρ ἐξότου τῶν ὁρίων τῆς 'Ρωμαίων ἀρχῆς ἐξ αὐτῆς τοῦ Διογένους ἀναρρήσεως οἱ βάρβαροι ἐπέβησαν, οὐκ εὐτυχῶς ἐκ πρώτης, ὅ φασι, βαλβίδος κατ' αὐτῶν ἐξορμήσαντος, οὐ μέχρι τῆς τοὐμοῦ πατρὸς αὐτοκρατορίας ἡ βαρβαρικὴ χεὶρ συνέσταλτο, ἀλλὰ καὶ ξίφη καὶ δόρατα κατὰ Χριστιανῶν ἐξεθήγετο, καὶ μάχαι καὶ πόλεμοι καὶ σφαγαί. ἠφανίζοντο μὲν πόλεις, ἐληίζοντο δὲ χῶραι καὶ πᾶσα ἡ 'Ρωμαίων γῆ Χριστιανῶν αἵμασιν ἐμιαίνετο. οἱ μὲν γὰρ βέλεσί τε καὶ δόρασιν οἰκτρῶς ἔπιπτον, οἱ δὲ τῶν σφετέρων ἀπελαυνόμενοι δορυάλωτοι πρὸς τὰς πόλεις Περσίδος ἀπήγοντο. καὶ δρόμος ἅπαντας εἶχεν ἐπὶ τὰ ἄντρα καὶ τὰ ἄλση καὶ τὰ ὄρη καὶ τοὺς βουνοὺς ἀπὸ τῶν εἰσπιπτόντων δεινῶν κρύπτεσθαι ἐπειγομένους. ἐν τούτοις οἱ μὲν ἐποτνιῶντο ἐφ' οἷς ἔπασχον πρὸς Περσίδα ἀπαγόμενοι, οἱ δ' ἔτι περιόντες, εἴ που τινὲς τοῖς ῥωμαϊκοῖς ὁρίοις ἐναπέμειναν, βύθιον στένοντες ὁ μὲν υἱόν, ὁ δὲ θυγατέρα ἐθρήνει, ὁ δὲ ἀδελφόν, ὁ δὲ ἀδελφιδοῦν ἀπεκλαίετο πρὸ καιροῦ θνήσκοντα καὶ οἷα γυναῖκες θερμὸν κατέσταζον δάκρυον· καὶ οὐκ ἦν τότε οὐδεμία τίς σχέσις ἄδακρυς οὐδ' ἀστένακτος. βασιλεὺς δὲ πλὴν ὀλίγων, λέγω δὲ Τζιμισκῆν τὲ καὶ Βασίλειον {τὸν βασιλέα}, ἔκτοτε καὶ μέχρι τοὐμοῦ πατρὸς οὐδεὶς ἄκροις ποσὶ τῆς Ἀσιάτιδος ἐφάψασθαι τὸ παράπαν τετόλμηκεν.

XI ἱνατί δὲ περὶ τούτων; αἰσθάνομαι γὰρ ἐμαυτῆς οἷον τῆς λεωφόρου ἐκτρεπομένης, διττόν μοι τὸν ἀγῶνα τοῦ λόγου τῆς προκειμένης

---

15–16 Τζιμισκῆν τὲ καὶ Βασίλειον: Ioannes I Tzimiskes, regn. a. 969–976; Basilius II, regn. a. 976–1025

---

1 ἐκ πρώτης – βαλβίδος: v. ad VI 8,5 (49) 13–14 θερμὸν – δάκρυον: v. ad XII 1,4 (52) 16–17 ἄκροις ποσὶ – ἐφάψασθαι: v. ad VIII 6,5 (86–87) 18–19 ἐμαυτῆς – ἐκτρεπομένης: cf. prol. 3,1 (52)

---

C 87 περιδρόμοις Reiff.[1] : παραδρόμοις C 91/92 κενοπραγία C : corr. Barb. 95 ἀναρρήσεως fort. ex ἀναρρύ- corr. C 2 ἐξορμήσαντος Reiff.[1] : ἐξορμήσαντες C 3 συνέσταλτο $C^{ac}$ : συνέσταλται $C^{pc}$ 8 δρόμος C : τρόμος Reiff.[1] 9 ἐπειγόμενος $C^{ac}$ 14 οὐδὲ μία τίς C 15 τζιμισχῆν C : corr. Barb. 16 τὸν βασιλέα ut glossema secl. Reinsch